www.tezaurliturgic.ro

# ΙΑΝΟΥΑΡΙΟΥ ΚΒ΄
# ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΣΗΦ ΤΟΥ ΗΓΙΑΣΜΕΝΟΥ ΤΟΥ ΚΡΗΤΟΣ*

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τὸ σεπτὸν καταγώγιον, τῶν χαρίτων τοῦ Πνεύματος, Μοναστῶν τὸ καύχημα καὶ ἀπάνθισμα, τῶν Ἱερέων τὸ τίμιον, καὶ θεῖον ἀγλάϊσμα, τῶν Κρητῶν τὴν καλλονήν, τὸν γενναίως πατήσαντα, τοῦ ἀλάστορος, μεθοδείας ἁπάσας ἐν αἰνέσει, Ἰωσὴφ τὸν θεοφόρον, μελῳδικῶς εὐφημήσωμεν.

Τὸν ἀνδρείως μαράναντα, τῆς σαρκὸς τὰ κινήματα, καὶ ψυχὴν ὁλόφωτον ἀναδείξαντα, τὸν Ἰωσὴφ τὸν ἀοίδιμον, συμφώνως ὑμνήσωμεν, ἐκβοῶντες πρὸς αὐτόν· μὴ ἐλλίπῃς τὸν Κύριον, ὃν ἠγάπησας, ἱκετεύειν ἀπαύστως τοῦ δοθῆναι, σωτηρίαν τοῖς ἐκ πόθου, ἐπιτελοῦσι τὴν μνήμην σου.

Τῶν Ὁσίων τοῖς ἴχνεσιν, Ἰωσὴφ ἠκολούθησας, καὶ Θεῷ τρισόλβιε εὐηρέστησας, τῇ καθαρᾷ πολιτείᾳ σου, καὶ τρόπων χρηστότητι, καὶ φρονήσει ἀληθεῖ, καὶ ἀγάπης ταῖς χάρισι· διὰ τοῦτό σε, ὁ τῶν ὅλων Δεσπότης ἀνταμείψας, τῶν Ἁγίων τῇ χορείᾳ, περιφανῶς σε ἠρίθμησε.

Τὰ τοῦ κόσμου κατέλιπες, ὑπὲρ κόσμον γενόμενος· ἄγγελος ἐπίγειος ὅθεν δέδειξαι, καὶ ἐπουράνιος ἄνθρωπος, ζηλώσας τὸν ἔνδοξον, βίον τὸν ἀγγελικόν, καὶ τὴν ἄνω μητρόπολιν, εἰς κατοίκησιν, εἰληφὼς θεοφόρε μὴ ἐλλίπῃς, ἱκετεύειν τὸν Σωτῆρα, ὑπὲρ τῶν πίστει ὑμνούντων σε.

Δόξα Πατρί. Ἦχος δ΄.

Τὸν νοερὸν ἀδάμαντα τῆς σωφροσύνης ἀδελφοί, τὸν ἡγιασμένον ἐν Ἱερεῦσιν Ἰωσήφ, ὁμοφρόνως πάντες τιμήσωμεν· οὗτος γὰρ ἔρωτι θείῳ ὅλως φλεχθείς, καὶ πάσης γηρᾶς τερπνότητος καταφρονήσας, τὸν Σταυρὸν τοῦ Σωτῆρος ἐπ' ὤμων προθύμως ἦρατο, καὶ τὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσθη,

---

* Ἡ Ἀκολουθία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ Ἡγιασμένου, ποιηθεῖσα ὑπὸ τοῦ Θεοφιλεστάτου Ἐπισκόπου Ἀριανζοῦ κ. Ἰωσήφ, ἐξεδόθη ὑπ' αὐτοῦ, ἐγκρίσει τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου τοῦ Πανσέπτου Οἰκουμενικοῦ Θρόνου, ἐν Θεσσαλονίκῃ, ἐν ἔτει 1999. Εἰς τὴν ἐν τῷ παρόντι ἐπανέκδοσιν προσετέθη ἐν τῷ Ὄρθρῳ ἕτερος Κανὼν ὡς α΄, ποιηθεὶς ὑπὸ τοῦ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἐκδοθεὶς εἰς τὸ *«Ζακύνθου Ἑορτοδρόμιον»*, Ζάκυνθος 1998.

Scanned by CamScanner

www.tezaurliturgic.ro



κατὰ χάριν Θεοῦ ἀναχθεὶς εἰς τὸ καθ' ὁμοίωσιν· καὶ νῦν τὸ οὐράνιον θυσιαστήριον κυκλῶν, διηνεκῶς πρεσβεύει τῷ Κυρίῳ, ὑπὲρ πάντων ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἀέναον πηγήν, ἰάσεων παντοίων, τὸ πάνσεπτόν σου σκῆνος, ὦ Ἰωσὴφ τρισμάκαρ, Θεὸς πιστοῖς ἀνέδειξε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ὅσιε τοῦ Θεοῦ, Πάτερ ἡγιασμένε, πρέσβευε τῷ Κυρίῳ, σωθῆναι τοὺς ὑμνοῦντας, καὶ πόθῳ σε γεραίροντας.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Δέσποτα Βασιλεῦ, εἰρήνην τῷ λαῷ σου, καὶ ἔλεος παράσχου, ταῖς Ἰωσὴφ πρεσβείαις, καὶ πάντων τῶν Ἁγίων σου.

Δόξα Πατρί. Τριαδικόν.

Δέχθητι ὦ Τριάς, Ἁγία τοῦ Ὁσίου, εὐχάς τε καὶ δεήσεις, ὑπὲρ ἡμῶν ἐνθέρμως, νυνὶ ἐκδυσωποῦντός σε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ἡ τὴν χαράν, τοῦ κόσμου δεξαμένη, Χριστὸν τὸν Ζωοδότην, καὶ παύσασα τὴν λύπην, Παρθένε τῆς προμήτορος.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Θυτῶν ὁ μακάριος χορός, καὶ Ὁσίων σήμερον, Ἡγιασμένε τὴν πάντιμον, καὶ θείαν μνήμην σου, πόθῳ ἑορτάζει, ἅπας καὶ ἡμεῖς φαιδρῶς, προσήλθομεν τιμῶντές σε Ὅσιε, καὶ ἐξαιτούμενοι, τὰς πρὸς Κύριον πρεσβείας σου, τὰς ἁγίας, καὶ τὴν προστασίαν σου.

Ὁσίων τὸ κλέος Ἰωσήφ, τῇ λαμπρᾷ ἀσκήσει σου, καὶ ἀρετῶν σου ταῖς χάρισι, χαίρει καὶ γάννυται, ἡ σεπτὴ Μονή σου, καὶ τῇ εὐκληρίᾳ σου, Σητεία ἡ πατρίς σου εὐφραίνεται, καὶ ἄμφω ἅγιε, τὴν σὴν μνήμην ἑορτάζουσαι, ἀνυμνοῦσι, Χριστὸν ὃν ἠγάπησας.

Τῆς χάριτος ὅσιε τῆς σῆς, Ἰωσὴφ μακάριε, καὶ εὐμενείας θεσπέσιε, καὶ ἀντιλήψεων, τῶν δαψιλεστάτων, ἐντρυφῶντες μέλπομεν, ᾠδὴν χρεωστικῶς χαριστήριον καὶ ἐκβοῶμέν σοι· τὴν σὴν νῆσον ἀξιάγαστε, περισκέπε, ἀξίως τιμῶσάν σε.

Προσόμοια ἕτερα. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῷ Χριστῷ ἐκ νεότητος, πτερωθεὶς θείῳ ἔρωτι, Ἰωσὴφ μακάριε ἠκολούθησας, καὶ καθαρθεὶς δι' ἀσκήσεως, δοχεῖον πολύτιμον, οὐρανίων ἀρετῶν, καὶ ἠθῶν καθαρότητος, ἐχρημάτισας, καὶ θαυμάτων τὴν χάριν δεδεγμένος, τοῖς αἰτοῦσι πάτερ νέμεις, σωτηριώδη δωρήματα.

Εὐσεβέσιν αἰδέσιμος, καὶ τοῖς πᾶσι περίβλεπτος, τοῖς σοῖς κατορθώμασι πάτερ γέγονας, ὡς τοῦ Χριστοῦ φίλος γνήσιος, ἑκάστῳ τὰ πρόσφορα, διανέμων ἀληθῶς, καὶ παρέχων τοῖς ἅπασι, χάριν ἔνθεον, καὶ ψυχῶν καὶ σωμάτων τῇ ἐντεύξει, θεραπεύων ἀσθενείας, ὦ Ἰωσὴφ παμμακάριστε.

Τῶν Κεράμων τὸ βλάστημα, καὶ φωστῆρα ὑπέρλαμπρον, καὶ ζωῆς τῆς κρείττονος τὸν διδάσκαλον, ὡς τῶν Ἀγγέλων ὁμότροπον, καὶ βίου σεμνότητος, φυτουργὸν θεοειδῆ, Ἰωσὴφ ἀνυμνήσωμεν, ἀνακράζοντες· χαίροις κλέος ἁπάντων φιλοχρίστων, Ὀρθοδόξων Ἱερέων, καὶ τῶν Ὁσίων καλλώπισμα.

Δόξα Πατρί. Ἦχος πλ. β'.

Τῶν Ἱερέων καλλονήν, καὶ Μοναζόντων τύπον, τὸν ὄντως θεοφόρον, καὶ τῶν πτωχῶν τὸν δοτῆρα τὸν εὔσπλαγχνον, συνελθόντες ὦ φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις αἰνέσωμεν λέγοντες· χαίροις ὁ τῶν ἐν Κρήτῃ φρουρός, καὶ βάσις ἀσφα-

Scanned by CamScanner

www.tezaurliturgic.ro



λῆς, καὶ μέγας ἀντιλήπτωρ· χαίροις ἀστὴρ φαεινότατε, ὁ τῇ πατρίδι Ὅσιε, διαλάμψας ταῖς χάρισι· χαίροις τῶν θλιβομένων χαρὰ καὶ εὐφροσύνη, καὶ τῶν ἐν ἀνάγκαις θερμότατος προστάτης· τῆς Ἐκκλησίας ἀγλάϊσμα, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων ἀεί, τὴν σεβάσμιον καὶ χαρμόσυνον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ' 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε' 5-15, στ' 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ' 7)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α'.

Δαυϊτικῶς αἱ τῶν Δικαίων χορεῖαι, ἐν Κυρίῳ εὐφράνθητε σήμερον, καὶ πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ, ἐν αὐτῷ ἐγκαυχήσασθε, ὁρῶντες τὸν ὁσίως τὸν βίον διανύσαντα, Ἰωσὴφ τὸν τρισόλβιον, ἐκ Θεοῦ δεδοξασμένον, ἐν θαύμασι καὶ ποικίλαις δυνάμεσι, δι' ὧν τὴν ἐν οὐρανοῖς αὐτοῦ δόξαν, ἅπαντες οἱ πιστοὶ τεκμαιρόμεθα. Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Scanned by CamScanner

www.tezaurliturgic.ro



Ἦχος ὁ αὐτός.

Τὴν τοῦ ἀμέμπτου σου βίου λαμπρότητα, Ἰωσὴφ ἐθαύμασαν ὁρῶσαι, τῶν Ἀγγέλων αἱ τάξεις, καὶ τῶν ἀνθρώπων τὰ πλήθη· καὶ γὰρ ὢν ἐν τῷ κόσμῳ, κόσμου ἦσθα ἀλλότριος, καὶ τῆς σαρκὸς τῶν ὀρέξεων μείζων· ὅθεν ἀνεδείχθης ὡς ἀληθῶς, οὐράνιος ἄνθρωπος καὶ ἐπίγειος Ἄγγελος. Καὶ νῦν ἐν τῇ χώρᾳ τῆς μακαρίας ζωῆς, τοῦ θείου καὶ ἀκτίστου φωτὸς ἀπολαύων, πρέσβευε τῷ Κυρίῳ, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος β'.

Σὲ τὸν θύτην καὶ ὅσιον Κυρίου, τὸν λύχνον τὸν φαεινότατον, τὸν ἐν Κρήτῃ λαμπρῶς ἐκλάμψαντα, ἀνευφημοῦντες πόθῳ δεόμεθα· μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν πιστῶς σου τελούντων, Ἰωσὴφ τὸ μνημόσυνον.

Ἦχος ὁ αὐτός.

Τίς ἰσχύσει ἐπαξίως, ὑμνῆσαι σε Πατὴρ ἡμῶν; τῇ δυνάμει γὰρ τοῦ Σταυροῦ περιφραχθείς, τῶν δαιμόνων τὰς ἐνέδρας οὐκ ἔπτηξας, ἀλλὰ γνώμῃ ἀκλινεῖ, τούτων τὰς φάλαγγας διώλεσας· καὶ τελέσας ὁσίως τὸν δρόμον σου, ἐν οὐρανοῖς ἀπολαύεις τοῦ ἄκρου ἐφετοῦ· διὸ παῤῥησίαν πεπλουτηκώς, πρὸς Χριστὸν τὸν σὲ δοξάσαντα, αἴτησαι ἱλασμὸν ἁμαρτιῶν, ταῖς ψυχαῖς ἡμῶν Ὅσιε.

Ἦχος δ'.

Ὅσιε παμμάκαρ Ἰωσήφ, σὺ καὶ μετὰ θάνατον ἐν οὐρανοῖς ζῇς ἐν τῷ Χριστῷ, δι' ὃν σεαυτὸν τῷ κόσμῳ ἐσταύρωσας· οὐ γὰρ ἔζης δι' ἑαυτόν, ἔζη δὲ μᾶλλον ἐν σοί, Χριστὸς ὁ Θεὸς ἡμῶν. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρί. Ἦχος πλ. α'.

Ὅσιε Πάτερ, τὰς ἐντολὰς τοῦ Κυρίου καλῶς ἐφύλαξας· τὸν πλοῦτον γὰρ σκορπίσας καὶ ἀκτήμων γενόμενος, ἦράς σου τὸν Σταυρὸν καὶ ἠκολούθησας Χριστῷ, καθ' ἡμέραν ἀποθνήσκων τῷ κόσμῳ· ὅθεν πᾶσιν ἐβόας· ἀκολουθήσατε τῷ Χριστῷ, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε· μηδὲν προτιμήσατε τῆς ἀκολουθήσεως αὐτοῦ, ἵνα ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, εὑρήσετε ἀνάπαυσιν μετὰ πάντων τῶν Ἁγίων· ὧν ταῖς ἱκεσίαις Χριστὸς διαφυλάξοι, καὶ σώσοι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις πατὴρ ἡμῶν Ἰωσήφ, Ἀζωκεράμου ὁ βλαστὸς ὁ περίδοξος, ὁ πράξει καὶ θεωρίᾳ, κεκοσμημένος λαμπρῶς, ἀρετῶν τῶν θείων τὸ θησαύρισμα· πραότητος σκήνωμα, προσευχῆς ἐνδιαίτημα, τῆς ἀενάου, τῆς σοφίας κειμήλιον, ταπεινώσεως, τὸ τερπνὸν καταγώγιον· ἥλιε διακρίσεως, εἰρήνης τὸ τέμενος, διπλῆς ἀγάπης ὁ οἶκος, τῆς πρὸς Θεὸν καὶ τὸν ἔγγιστα. Χριστὸν ἐκδυσώπει, τοῦ δωρήσασθαι τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Σκῆνος τὸ ἱερόν σου ἡμεῖς, καταπλουτοῦντες Ἰωσὴφ παμμακάριστε, ἰάσεις τὸ δαψιλεῦον, τοῖς μετὰ πόθου αὐτό, κατασπαζομένοις καὶ γεραίρουσιν, ἐν ὕμνοις καὶ ᾄσμασι, τὰ σεπτά σου παλαίσματα, εὐχαριστοῦμεν, τῷ Σωτῆρι καὶ κράζομεν· Πολυεύσπλαγχνε, δὸς ἡμῖν τὰ αἰτήματα, παῦσον τὸν δεινὸν τάραχον, τὸν ἐκ τῶν παθῶν ἡμῶν, τὸν ἐγειρόμενον φθόνῳ, τοῦ σκολιόφρονος δράκοντος, παρέχων εἰρήνην, ταῖς ψυχαῖς ἡμῶν πρεσβείαις, τοῦ σοῦ θεράποντος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις πατὴρ ἡμῶν Ἰωσήφ, ὁ ἐν τῇ χώρᾳ τῆς χαρᾶς διαιτώμενος, χαρίτων τῶν ἀκηράτων, τῇ πεπλησμένῃ ἀεί, ὅπου τῶν Ἀγγέλων τὰ συστήματα, χαρᾷ τερπνῇ χαίρουσι, καὶ Δικαίων τὰ πνεύματα, γελῶσιν ὄντως, τὸν μακάριον γέλωτα, καὶ ἐμπίμπλανται, χαρμονῆς τε καὶ τέρψεως· ὅπου ὁ χαριέστατος, Χριστὸς ὁ Θεάνθρωπος, πᾶσι τὰς χάριτας νέμει, τοῖς ὁλοψύχως ποθήσασιν, αὐτὸν καὶ παρέχει, τὴν χαρὰν τῆς ἀϊδίου, μακαριότητος.

Δόξα Πατρί. Ἦχος πλ. δ'.

Ἐν ἀσκήσει ἀρετῶν, ἀσκητικῶς ἐδοξάσθης, τὴν ταπείνωσιν τοῦ Κυρίου, μιμησάμενος Ὅσιε· διὸ ὁ Χριστός σε ὕψωσεν, ἐν Ἐκκλησίᾳ Ἁγίων, ὡς οἰκεῖον θεράποντα, καὶ ξένον φθορᾶς φυσικῆς, τὸ σὸν σκῆνος ἔδειξεν, ὁ δοξάζων τοὺς αὐτὸν δοξάσαντας· ὃν ἱκέτευε, ἔνθεε μύστα Ἰωσήφ, τυχεῖν τῆς ἄνω δόξης, τοὺς σὲ γεραίροντας.

Scanned by CamScanner

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Τῆς Σητείας τὸν γόνον, Ἐκκλησίας τὸ καύχημα, Ἱερέων κλέος καὶ δόξαν, Ἰωσὴφ τὸν ἀοίδιμον, τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, οὗ δόξῃ τῇ ἀῤῥήτῳ ὁ Θεός, ἐτιμήσατο τὸ σκῆνος, καὶ ἐτήρησεν ἄφθορον. Δόξα τῷ ἁγιάσαντι αὐτόν, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι' αὐτοῦ, πιστοῖς ἰάματα.

Ἕτερον. Ὅμοιον.
Κυρίλλου Ἱερομονάχου.

Ἡρακλείου τὴν πόλιν, Ἰωσὴφ παναοίδιμε, τῇ ἀγγελικῇ βιοτῇ σου, μυστικῶς καθηγίασας· ἐν ταύτῃ γὰρ ἀσκούμενος καλῶς, ἐξέπληξας ἅπαντας φρικτῶς, ταῖς ὁσίαις ἀρεταῖς σου, καὶ τῶν θαυμάτων δυνάμεσι. Δόξα τῷ προορίσαντί σε ἐκ παιδός, δόξα τῷ σὲ χαριτώσαντι, δόξα τῷ ἀφθαρσίᾳ τὸ σεπτόν, τιμήσαντι σκῆνός σου.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου, σοὶ Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.
Ἦχος α'. Τὸν τάφον σου.

Τὸν βίον ἐπὶ γῆς, καθαρῶς διανύσας, καὶ Πνεύματος ὀφθείς, καταγώγιον Θείου, καὶ λάμψας ὡς ἥλιος, ἐν τῇ Κρήτῃ μακάριε, τῶν ὑμνούντων σου, τὴν πανσεβάσμιον μνήμην, νῦν καταύγασον, φρένας ψυχὰς καὶ καρδίας, Ἰωσὴφ ἀοίδιμε.

Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.
Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγησαν τὴν σήν, ἀσκητικὴν διαγωγήν, οἱ ὁρῶντές σε σοφέ, ἄσαρκον βίον ἐν σαρκί, πολιτευόμενον ἔρωτι θείῳ· ἔνθεν ὁ Χριστός, σὲ ἐμεγάλυνε, χάριτι πολλῇ, καὶ θείοις θαύμασι, καὶ τὸ σεπτὸν ἀφθαρτίσας σου σκήνωμα, ὥστε θαυμάζειν τὰ σύμπαντα. Αὐτὸν δυσώπει, ἡμῖν δοθῆναι, Ἰωσὴφ θεῖον ἔλεος.

Θεοτοκίον.

Καταπλήττονται τὴν σήν, μεγαλοπρέπειαν Ἁγνή, τῶν Ἀγγέλων οἱ χοροί, καὶ δόξαν τὴν ὑπερφυῆ, καὶ ὡς Κυρίαν ἁπάντων αἰνοῦσί σε· κάτω δὲ ἐν γῇ, βροτῶν συστήματα, μέλπουσιν ἀεί, τὴν σὴν χρηστότητα, καὶ οἰκτιρμῶν σου τὸν πλοῦτον πανάμωμε, δι' ὧν κινδύνων καὶ θλίψεων, ἀπταίστως σῴζεις, Θεογεννῆτορ, τοὺς πεποιθότας τῇ σκέπῃ σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τοὺς θορύβους τοῦ βίου καταλιπών, τὸν σταυρόν σου ἐπ' ὤμων ἀναλαβών, ὅλον ἀνατέθηκας, σεαυτὸν τῷ Κυρίῳ σου, καὶ τὴν σάρκα νικήσας, τὸ πνεῦμα ἐπτέρωσας, καὶ ἐν κόσμῳ ὑπάρχων, τὸν κόσμον κατέλιπες· ὅθεν ἠμφιέσω, θείαν αἴγλην ὡς κόσμον, Ἰωσὴφ παναοίδιμε, τῶν Ἀγγέλων συνόμιλε, θεοφόρε Πατὴρ ἡμῶν· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Μὴ κενώσας τοὺς κόλπους τοὺς πατρικούς, ὁ Υἱός σου ἀτρέπτως ἐπὶ τοὺς σούς, νῦν κόλπους καθέζεται, ἀναπλάσαι βουλόμενος, τὸ φθαρὲν κακίᾳ, τοῦ ὄφεως Ἄχραντε, καὶ τοῦ Θεοῦ Παρθένε, μακρυνθὲν ὡς παρήκοον· ὃ καὶ σὺν Ἀγγέλοις, νῦν αὐλίζεται χαῖρον, δοξάζον τὸν Κύριον· διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ,

Scanned by CamScanner

www.tezaurliturgic.ro



τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν, τοῖς πιστῶς προσκυνοῦσι, τὸν ἄχραντον τόκον σου.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α' Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.......

Εὐαγγέλιον, ζήτει τῇ ιζ' Ἰανουαρίου.

Ὁ Ν'. Δόξα Πατρί. Ταῖς τοῦ σοῦ Ὁσίου...Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.....

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Ὅσιε Πάτερ, ἐκ βρέφους τὸν Κύριον σφοδρῶς ἠγάπησας, καὶ τὴν τῶν ἐντολῶν αὐτοῦ φύλαξιν, σημεῖον ἀγάπης πρὸς αὐτὸν ἀνέδειξας· μεθ' ὧν καὶ δι' ὧν, συνεργούσης τῆς χάριτος αὐτοῦ, ἀνέπτης πρὸς οὐρανόν, μετὰ πάντων τῶν Ἁγίων αὐτὸν δοξολογῶν· ὃν καθικέτευε, σωθῆναι τοὺς ὑμνοῦντάς σε.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τοῦ Ὁσίου. Κανὼν πρῶτος τοῦ Ὁσίου, φέρων Ἀκροστιχίδα τήνδε· «Τὸν ἡγιασμένον Ἰωσὴφ ὑμνήσω. Γερασίμου».

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ταῖς φωταυγείαις τῆς Τριάδος ὅσιε, καταλαμπόμενος, καὶ μεθέξει θείᾳ, μυστικῶς θεούμενος, τὸν νοῦν μου φωταγώγησον, τῇ πρεσβείᾳ σου πάτερ, ἵνα τῶν θείων ἀγώνων σου, μέλψω Ἰωσὴφ τὴν λαμπρότητα.

Ὅλον τὸν πόθον τῆς ψυχῆς ἀνέτεινας, ἀπὸ παιδὸς τῷ Θεῷ, ἔρωτι ἀσχέτῳ, ἀγαπήσας ὅσιε, τῶν ἐφετῶν τὸ ἔσχατον, καὶ σαρκὸς τὰς ὀρέξεις, ἀπαρνησάμενος ἔλαμψας, βίου Ἰωσὴφ καθαρότητι.

Νόμῳ τῷ θείῳ νουνεχῶς πειθόμενος, πάντα τὸν πλοῦτον τὸν σόν, τοῖς πτωχοῖς σκορπίσας, γνώμῃ ἐλεήμονι, ἐπτώχευσας τῷ πνεύματι, καὶ ζωῆς ἰσαγγέλου, κατεπλουτίσθης ταῖς χάρισι, πάτερ Ἰωσὴφ ἀξιύμνητε.

Θεοτοκίον.

Ἣ τὸν Θεὸν ἀπεριγράπτως τέξασα, ὕλης παχύτητι, καὶ μετὰ τὸν τόκον, οὖσα ἀδιάφθορος, εὐλογημένη πάναγνε, Θεοτόκε Παρθένε, φθοροποιῶν νοημάτων με, κάθαρον καὶ σῶσόν με δέομαι.

Κανὼν δεύτερος τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχὶς κατ' Ἀλφάβητον. Ποίημα Ἰωσὴφ Ἀρχιερέως.

Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῷ θεοφόρῳ Πατρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, τούτου τὴν εὔκλειαν.

Ἁγίως τὸν βίον σου, ἐν γῇ παμμάκαρ διήνυσας· Χριστῷ γὰρ προέκρινας, ἀκολουθῆσαι σοφέ, καὶ ἐβάστασας, τὸν σὸν σταυρὸν ἐπ' ὤμων, σαυτὸν καὶ τὰ γήινα, ἀπαρνησάμενος.

Βασίλεια ᾤκησας, τὰ ἐπουράνια Ὅσιε, καὶ ἄξιον ἔλαβες, παρὰ Χριστοῦ τὸν μισθόν· οἰκονόμος γάρ, τῶν θείων Μυστηρίων, αὐτοῦ φρονιμώτατος, ἦσθα καὶ ἔμπιστος.

Θεοτοκίον.

Γαστρί σου ἐβάστασας, τὸν Βασιλέα τῆς κτίσεως, Παρθένε Θεόνυμφε, καὶ ἀπεκύησας, τὸν λυτρούμενον, ἡμᾶς ἐκ τῆς κατάρας· διό σε δοξάζομεν, τὴν παντευλόγητον.

Καταβασία. Χέρσον ἀβυσσοτόκον.

Κανὼν πρῶτος. Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Γνώσεως θείας τῷ φωτί, καταυγασθεὶς τὴν καρδίαν, τῇ μελέτῃ τῶν ἐνθέων λογίων, τὴν τοῦ κόσμου Ἰωσήφ, μεμίσηκας τερπνότητα, καὶ τῷ Σωτῆρι πάντων, ἀσκητικῶς ἠκολούθησας.

Ἱερουργὸς θεοειδής, ὡς καθαρὸς τὴν καρδίαν, ἀνεδείχθης Ἰωσὴφ θεοφόρε, καὶ ἱερεύσας Θεῷ, ἐπὶ τῆς γῆς ὡς ἄγγελος· διὸ τῆς ἰσαγγέλου, κατηξιώθης φαιδρότητος.

Ἀγάπης ὤφθης θησαυρός, καὶ ἐγκρατείας πυξίον, καὶ ἐλέους ἀνεξάντλητον ῥεῖθρον, κατοικτίρων συμπαθῶς, τοὺς πάσχοντας καὶ πένητας, καὶ ἐλεῶν πλουσίως, τοὺς δεομένους μακάριε.

Θεοτοκίον.

Σεσαρκωμένον ἐξ ἁγνῶν, αἱμάτων σου Θεοτόκε, τὸν Ὑπέρθεον ἐκύησας Λόγον, ἀλογίας καὶ

Scanned by CamScanner

www.tezaurliturgic.ro


φθορᾶς, τοὺς γηγενεῖς λυτρούμενον· διὸ τὴν τῆς σαρκός μου, νόσον θεράπευσον δέομαι.

Κανὼν δεύτερος. Τοὺς σοὺς ὑμνολόγους.

Δῆμος ἱερὸς τῶν Ἱερέων, καὶ πλῆθος λαοῦ θεοσεβοῦς, ἠθροίσθη κατασπάσασθαι, λειψάνου σου τὴν λάρνακα, καὶ λήψεσθαι ἰάματα, ψυχῆς ὁμοῦ τε καὶ σώματος.

Διάδηλα θαύματα τελοῦνται, καὶ πλεῖσται ἰάσεις ἐμφανεῖς, τοῖς πίστει καταφεύγουσι, τῷ αἰδεσίμῳ σκήνει σου, ὦ Ἰωσὴφ μακάριε, χάριτι θείᾳ ᾗ ἔλαβες.

Ἑβραῖον κατήσχυνας τὸν οἶνον, καλῇ προαιρέσει εὐλογῶν, ὅν σοι κακῶς κεκέρακεν, ὁ σκολιόφρων Ἅγιε, κακολογεῖν βουλόμενος, ἐκ τῶν ὑστέρων ὁ δείλαιος.

Θεοτοκίον.

Ζάλη τῶν πειρασμῶν με κατέχει, καὶ νὺξ ἁμαρτίας Ἀγαθή· διὸ καθικετεύω σε, τὰ ψυχοφθόρα πάθη μου, ἀπονεκρῶσαι Δέσποινα, ἵνα ὑμνῶ καὶ δοξάζω σε.

Καταβασία. Τὸ στερέωμα τῶν ἐπὶ σοί.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀσκήσει ἐφαίδρυνας, τὴν ἱεράν σου στολήν, καὶ δῶρον προσήνεξαι, τῷ σαρκωθέντι Θεῷ, Ὁσίων ἀγλάϊσμα· ὅθεν καὶ ἐν τῇ δόξῃ, τῇ αὐτοῦ σε δοξάζει, καὶ χάριν δέδωκέ σοι, θεραπεύειν τὰς νόσους, καὶ λύειν ἀῤῥωστημάτων, πᾶσαν ἐπήρειαν.

Δόξα Πατρί. Ὅμοιον.

Τῆς θείας λαμπρότητος, ἐν τῇ ψυχῇ σου τὸ φῶς, ἐδέξω τὸ ἄκτιστον, ἀνακαθάρας σαυτόν, πολλοῖς ἀγωνίσμασιν· ὅθεν ὡς οὐρανόφρων, καὶ παθῶν καθαιρέτης, χαίρων πρὸς τὰς ἀΰλους, μετετέθης σκηνώσεις, πρεσβεύων δοθῆναι πᾶσιν Ἰωσήφ, πταισμάτων συγχώρησιν.

Καὶ νῦν. Θεοτοκίον

Τεκοῦσα ἐν σώματι, τὸν ἐπὶ πάντων Θεόν, Παρθένε πανάμωμε, δι' εὐσπλαγχνίαν πολλήν, Ἀδὰμ τὸν πρωτόπλαστον, ἔλυσας ἐκ τῆς πάλαι, κατακρίσεως Κόρη· ὅθεν σε ὡς αἰτίαν, τῆς ἡμῶν σωτηρίας, ὑμνοῦμεν Θεοτόκε, καὶ πίστει δοξάζομεν.

Κανὼν πρῶτος. Ὠδὴ δ'. Σύ μου ἰσχύς.

Μετὰ σπουδῆς, τόπους τοὺς θείους κατέλαβες, ἔνθα Πάτερ, ὁ Σωτὴρ τὸ ἄχραντον, πάθος ὑπέστη σωματικῶς, οὓς καὶ προσκυνήσας, ψυχῆς ζεούσης θερμότητι, Χριστῷ συνεσταυρώθης, διὰ βίου κραυγάζων· Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἐξουθενεῖν, σὲ τοῦ Χριστοῦ τὸν θεράποντα, βουληθέντες, Ἑβραῖοι οἱ ἄνομοι, κατησχυμμένοι καὶ κατηφεῖς, ὤφθησαν εἰς τέλος· τοῖς εὐσεβέσι γὰρ δέδοται, ὁ οἶνος ὁ τῷ τύπῳ, τοῦ Σταυροῦ τῇ χειρί σου, σφραγισθεὶς Ἰωσὴφ ἀξιάγαστε.

Νέος φωστήρ, ἡμῖν ἀνέτειλας Ὅσιε, καὶ πλουτίζεις, τῷ πυρσῷ τῶν ἔργων σου, τῶν ἐναρέτων καὶ ἀγαθῶν, πᾶσαν Ἐκκλησίαν, τῶν Ὀρθοδόξων θεόληπτε· τοῖς πάλαι γὰρ Ὁσίοις, ἁμιλλώμενος ὤφθης, Ἰωσὴφ ἀρετῶν τελειότητι.

Θεοτοκίον.

Ὄρος Θεοῦ, δασὺ καὶ πῖον καὶ σύσκιον, ἀνεδείχθης, ὥς φασι Θεόνυμφε, τῶν θεηγόρων πάλαι φωναί, ἀρετῶν τῷ πλούτῳ, καὶ πυκασμῷ τῷ τῆς χάριτος, καταπεπυκασμένη, καὶ σταλάζουσα κόσμῳ, γλυκασμὸν οὐρανίου χρηστότητος.

Κανὼν δεύτερος. Ὁ καθήμενος ἐν δόξῃ.

Ἡγιάσθης ἀριδήλως, ἐπὶ γῆς Πάτερ ὅσιε· τὸν Σταυρὸν ἐπ' ὤμων, ἄρας Ἰωσὴφ τοῦ Κυρίου σου, τούτῳ ἀκριβῶς ἠκολούθεις ἐν τῷ βίῳ σου, δι' ἀσκήσεως, καὶ τῶν ἀγώνων τοῦ πνεύματος.

Ἡγνισμένῃ διανοίᾳ, καὶ τελείῳ φρονήματι, ἐκζητῶν θεόφρον, τοῦ Χριστοῦ τὴν δόξαν καὶ οὐ τὴν σήν, ἐκ τῶν Κεράμων σπουδαίως εἰς Δερμάτανον, κατεσκήνωσας, ἔρωτι θείῳ φλεγόμενος.

Θησαυροὺς ἐπιποθήσας, οὐρανίους θεόσοφε, γήϊνα παρεῖδες, πάντα ὡς σκιὰν λογισάμενος, ἄνεσιν πᾶσαν καὶ πλοῦτον δόξαν ἄστατον, καὶ ἐμόνασας, Χριστοῦ τοῖς λόγοις ἑπόμενος.

Θεοτοκίον.

Ἱερόν σε εἶδεν ὄρος, καὶ κατάσκιον Δέσποινα, Ἀββακοὺμ ὁ θεῖος, Πνεύματι Ἁγίῳ φερόμενος, ὁπόθεν ἥξει ὁ Λόγος, οὗ ἐκάλυψεν, οὐρανοὺς καὶ γῆν, ἡ ἀρετὴ καὶ ἡ αἴνεσις.

Scanned by CamScanner

www.tezaurliturgic.ro



Καταβασία. Ἐκάλυψεν οὐρανούς.

Κανὼν πρῶτος. Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Νυσταγμῷ τῆς κακίας, Πάτερ οὐκ ἐνύσταξας ἀπὸ νεότητος, ἀλλ' ἐν ἐγρηγόρσει, καὶ φρονήσει καὶ φόβῳ πεπόρευσαι, τοῦ φωτὸς τὰς τρίβους, καὶ πρὸς τὸ φῶς τῆς αἰωνίου, Ἰωσὴφ βασιλείας ἐσκήνωσας.

Ἱλαρότητι γνώμης, σπλάγχνα οἰκτιρμῶν ἐνδεικνύμενος ἅπασιν, ἐλεεῖς ἀφθόνως, τοὺς προστρέχοντας πάτερ τῇ Μάνδρᾳ σου, καὶ πλουσίως τρέφεις, βρώσει φθαρτῇ καὶ ἀθανάτῳ, Ἰωσὴφ εὐσεβῶν τὰ συστήματα.

Ὡς πραΰς τῇ καρδίᾳ, ὤφθης συμπαθέστατος Πάτερ καὶ ἄκακος, καὶ ἱερωσύνης, τὸ θεόσδοτον δῶρον ἐλάμπρυνας, οἰκτιρμοῖς πενήτων, καὶ τῆς σεμνῆς σου πολιτείας, τοῖς λαμπροῖς προτερήμασιν ὅσιε.

Θεοτοκίον.

Σωματώσασα Κόρη, τὸν ἀπερινόητον δι' ἀγαθότητα, τὰς τοῦ σώματός μου, χαλεπὰς ἀῤῥωστίας ἰάτρευσον, καὶ τὴν τῆς ψυχῆς μου, νόσον Παρθένε καὶ ὀδύνην, μητρικῇ συμπαθείᾳ κατάπαυσον.

Κανὼν δεύτερος. Ἐξέστη τὰ σύμπαντα.

Καλῶς τὸν ἀγῶνά σου, ἐτέλεσας μακάριε, πίστιν δὲ ἐτήρησας ἀμέμπτως, ἱερουργήσας, Θεῷ ὡς Ἄγγελος· ὅθεν σὺν Ἀγγέλοις κατοικεῖς, εἰς φῶς τὸ ἀνέσπερον, Ἰωσὴφ ἀξιάγαστε.

Κρήτην ταῖς δεήσεσι, καὶ ἀγρυπνίαις Ἅγιε, καὶ τῇ τῶν Γραφῶν συχνῇ μελέτῃ, θερμῶς σχολάζων, κατεσαγήνευσας, καὶ πάντας ἐδίδαξας Χριστόν, σέβειν ὡς Θεάνθρωπον, θεοβράβευτε Ὅσιε.

Λυχνία ὁλόφωτος, ἐδείχθης ἁγιώτατε, θείῳ φωτισμῷ κατηυγασμένος, καὶ Θεὸν σέβειν, πάντας ἐδίδαξας, Ἄναρχον Πατέρα σὺν Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι, οἰκουμένης ὡράϊσμα.

Θεοτοκίον.

Μαρία ἐγέννησας, ὡς ἄνθρωπον ἐν σώματι, Ἥλιον τὸν ἄδυτον τῆς δόξης, τὸν Ζωοδότην Χριστὸν καὶ Κύριον, καὶ θεογνωσίας τῷ φωτί, πάντες κατηυγάσθημεν, ἀνυμνοῦντες τὸν τόκον σου.

Καταβασία. Ὡς εἶδεν Ἠσαΐας.

Κανὼν πρῶτος. Ὠδὴ στ'. Ἱλάσθητί μοι Σωτήρ.

Ἡ καθαρά σου ζωή, ὡς ἥλιος Πάτερ λάμψασα, ἀκτῖσι ταῖς νοηταῖς, αὐγάζει τῶν ἔργων σου, τὴν ἐνεγκαμένην σε, Κρήτην θεοφόρε, καυχωμένην ἐν τῇ δόξῃ σου.

Φαιδρύνεται μυστικῶς, ἡ νῆσος Ζάκυνθος Ὅσιε, τὸ σκῆνός σου τὸ σεπτόν, ὡς πλοῦτον οὐράνιον, ἐν κόλποις κατέχουσα, ὃ πάλαι ἐκ Κρήτης, θεοφρόνως μετεκόμισαν.

Ὑμνείσθω χαρμονικῶς, ὁ Ἰωσὴφ ὁ ἀοίδιμος, ὁ τοῦ Σωτῆρος Χριστοῦ, θεράπων θερμότατος, οὗ τὸ θεῖον λείψανον, βρύει καθ' ἑκάστην, ἰαμάτων τὰ χαρίσματα.

Θεοτοκίον.

Μαρία Μῆτερ Χριστοῦ, τῆς εὐωδίας τὸ σκήνωμα, τὴν ῥυπαράν μου ψυχήν, καὶ πλήρη φαυλότητος, καθάρισον δέομαι, καὶ ἐπάκουσόν μου, τῆς δεήσεως Πανάμωμε.

Κανὼν δεύτερος. Τὴν θείαν ταύτην.

Ναὸς ἐγένου ὁλόφωτος, Ἁγίου ἱερώτατε Πνεύματος, πόνοις ἀσκήσεως, καὶ εὐσεβείας γυμνάσμασι, τὴν θείαν χάριν ἔχων, συναντιλήπτορα.

Ναόν σου σώματος Ὅσιε, ὁ Κύριος μεγάλως ἐδόξασε, τηρήσας ἄφθορον, ὃν νῦν ἡμεῖς ἀσπαζόμενοι, μετ' εὐλαβείας πάντες, Χριστὸν δοξάζομεν.

Ξενίζει νοῦν τὸν ἀνθρώπινον, τοῦ σώματός σου Πάτερ τὸ ἄφθαρτον, καὶ μετὰ θάνατον· ὅσοι δὲ νοῦν Χριστοῦ ἔχουσι, δοξολογοῦσι μάκαρ, Θεὸν τὸν αἴτιον.

Θεοτοκίον.

Ὁλκὰς ὑπάρχεις σωτήριος, τοῖς θέλουσι σωθῆναι πανάχραντε, λιμήν τε εὔδιος, τοῖς θαλαττεύουσι Δέσποινα, ἐν τῷ τοῦ βίου πόντῳ, τῷ πολυκλύδωνι.

Καταβασία. Ἐβόησέ σοι.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῶν πιστῶν προΐστασαι, καὶ ἀπαλλάττεις, ἀπὸ πάσης θλίψεως, ταῖς σαῖς πρεσβείαις πρὸς Θεόν, ὦ Ἰωσὴφ παναοίδιμε, κλέος καὶ δόξα, Ὁσίων καὶ καύχημα.

Scanned by CamScanner

www.tezaurliturgic.ro

Ὁ Οἶκος.

Σὺ παιδιόθεν τῷ Θεῷ, καθιερώθης Πάτερ, σὺ καὶ τὸν σταυρόν σου ἀράμενος, τῷ ὑπὲρ ἡμῶν τυθέντι ἠκολούθησας, παρ' οὐδενὸς τῶν ἐν τῷ κόσμῳ κωλυόμενος· πάντα γὰρ ὡς σκύβαλα ἡγήσω, τὸν Χριστὸν ποθήσας, παρ' οὗ καὶ ἀντεδοξάσθης, ταῖς τῶν θαυμάτων λαμπραῖς ἐπιλάμψεσι· ὅθεν ἀκούεις κατ' ἀξίαν παρὰ πάντων, ὦ Ἰωσὴφ παναοίδιμε· χαίροις κλέος καὶ δόξα, Ὁσίων καὶ καύχημα.

Μηνολόγιον.

Τῇ ΚΒ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ Ἡγιασμένου, τοῦ Κρητός, τοῦ ἐπονομαζομένου Σαμάκου, οὗ τὸ ἱερώτατον σκῆνος ἄφθαρτον διαμένον χάριτι θείᾳ ἄχρι τοῦ νῦν, τεθησαύρισται ἐν τῇ τῶν Ζακυνθίων θεοσώστῳ Νήσῳ.

Στίχοι.

Ἰωσὴφ τὸν μέγιστον ἐν σωφροσύνῃ
ὑμνήσωμεν ἅπαντες πιστοὶ ἀξίως.
Ἁγίων γὰρ Ἰωσὴφ τὸν βίον ζήσας
Σὺν Ἁγίοις Ἅγιος νῦν ἐπαγάλλῃ

Εἰκάδι Ἰωσὴφ ἔκθανε δευτερίῃ.

Συναξάριον.

Ὁ ὅσιος πατὴρ ἡμῶν Ἰωσὴφ ὁ Ἡγιασμένος, τοὐπίκλην Σαμᾶκος, ὑπάρχει γόνος καὶ καρπὸς εὐκλεὴς τῆς εὐάνδρου Κρήτης. Ἐγεννήθη περὶ τὸ 1440 ἐξ εὐσεβῶν καὶ φοβουμένων τὸν Θεὸν γονέων, εἰς χωρίον καλούμενον Κεράμους, ὅπερ, ὡς οἱ πολλοὶ δέχονται καὶ ὁμολογοῦσι, ταυτίζεται πρὸς τὸ σήμερον Ἀζωκέραμος καλούμενον χωρίον τῆς, κατὰ τὴν ἀνατολικὴν τῆς Κρήτης ἐσχατιάν, Καλλιγόνου τῆς Σητείας ἐπαρχίας.

Τῷ γάλακτι τῆς εὐσεβείας τραφεὶς καὶ τὰ ἱερὰ γράμματα ἀπὸ βρέφους γνωρίσας καὶ ζήλου ἐνθέου παιδιόθεν πλησθείς, ὡς διψῶσα ἔλαφος ἔσπευδεν ἀγαλλομένῳ ποδὶ εἰς τὸ πλησιόχωρον χαλκεῖον τῆς ἀρετῆς, τὸ ἱερόν, φημί, καὶ σεβάσμιον Μοναστήριον τῆς Παναγίας Ἀκρωτηριανῆς τῆς Σητείας, ὅπερ Τοπλοῦ τὴν σήμερον κοινῶς ἐπικαλεῖται, ἔνθα πυκνῶς φοιτῶν, τοῖς νάμασι τῆς κατὰ Θεὸν φιλοσοφίας ἑαυτὸν πλουσίως ἐπότιζεν. Κατὰ τὸν ἴδιον πόθον δέ, καὶ συστάσει τοῦ τῆς Μονῆς Ἀββᾶ, ὅτε ἦλθεν εἰς ἁρμόδιον ἡλικίαν, ἀνεχώρησεν εἰς Χάνδακα (τὸ τῆς σήμερον Ἡράκλειον), ἔνθα ὑπέταξεν ἑαυτὸν Γέροντι σεβασμίῳ καὶ Πνευματικῷ τοῦ ἐκεῖσε καὶ παρὰ τὴν θέσιν Δερματᾶ ἢ Δερματάνου, Μονυδρίου τοῦ ἁγίου Ἰωάννου τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου, ὅπερ ὑπῆρχεν ἐξάρτημα κανονικὸν καὶ μετόχιον τῆς ὡς ἄνω ἱερᾶς καὶ σεβασμίας Μονῆς τῆς Παναγίας Ἀκρωτηριανῆς.

Ἐνταῦθα καὶ παρὰ τοὺς τιμίους πόδας τοῦ ἁγίου Γέροντος αὐτοῦ, διὰ τῆς μακαρίας ἀδιακρίτου ὑπακοῆς καὶ συντόνου ἀσκήσεως, πάσης ἁγίας ἀρετῆς σεπτὸν καταγώγιον ἑαυτόν, χάριτι θείᾳ, κατέστησεν, ὥστε ὡς παιδαριογέρων παρὰ πάντων ἐλογίζετο. Ἥ τε πολιὰ αὐτοῦ φρόνησις, ἡ ἐν ἀγενείῳ εἰσέτι σκεύει, καὶ ἡ ἐν πᾶσι σύνεσις καὶ τὸ μακρόθυμον καὶ τὸ ἐγκρατὲς καὶ τὸ τῆς προσευχῆς πάμπυκνον καὶ τὸ τοῦ φρονήματος ταπεινὸν καὶ μέτριον, καθίστων αὐτὸν ὁσημέραι τοῖς πᾶσιν αἰδέσιμον καὶ περίβλεπτον.

Μετὰ δὲ τὴν πρὸς Κύριον τῶν εὐσεβῶν αὐτοῦ γεννητόρων ἐκδημίαν, πᾶσαν τὴν κληρονομίαν τοῖς πένησι διαδούς, κατὰ τὸν λόγον τοῦ Κυρίου, καὶ πᾶσι τοῖς τοῦ κόσμου τερπνοῖς χαίρειν εἰπών, ὅλως ἑαυτὸν τῷ Σωτῆρι ἀφιέρωσε, τελείῳ σχήματι Μοναχοῦ σχηματισθεὶς παρὰ τοῦ ὁσίου Γέροντος αὐτοῦ.

Ὦ, τίς δύναται ἐξειπεῖν τῶν ἀσκητικῶν αὐτοῦ παλαισμάτων τὸ μέγεθος! Ποίοις λόγοις καὶ τίνι καλάμῳ ἱστορῆσαι τὰς ἀμέτρους νηστείας καὶ τὰς παμπληθεῖς γονυκλισίας καὶ τὰς ὁλονυκτίους ὀρθοστάδην εὐχὰς καὶ τὴν τοῦ νοὸς ἄγρυπνον φυλακὴν καὶ τὴν ὄντως ἀδιάλειπτον καὶ τελείαν προσευχὴν καὶ τὰς χαμευνίας καὶ τὴν τοῦ ψύχους καὶ τοῦ καύσωνος ἐγκαρτέρησιν καὶ τὰ λοιπά, δι' ὧν τὸν παλαιὸν ἄνθρωπον τελείως ἐνέκρωσε *«σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις»*, ἵνα ἐν καινότητι ζωῆς περιπατήσῃ καὶ τὸν Χριστὸν ἐν στέρνοις σχῇ; Σιωπῶμεν, εὐλαβούμενοι τοῦ πράγματος τὸ μέγεθος.

Μετ' οὐ πολὺ καὶ τῷ τῶν Ἱερέων ποδήρει κατεκοσμήθη χιτῶνι, τῇ κελεύσει τοῦ Γέροντος, καὶ ἔσω τοῦ καταπετάσματος εἰσῆλθε, τῶν ἁγίων λειτουργὸς καὶ τῶν τοῦ Θεοῦ μυστηρίων οἰκονόμος φρόνιμος καὶ πιστὸς καταστάς.

Τοῦ δὲ φιλοστόργου αὐτοῦ Πατρὸς ἐν εἰρήνῃ πρὸς Κύριον μεταστάντος, ὁ θειότατος Ἰωσὴφ πάσας τὰς ἐκείνου ὑποθήκας μετ' εὐλαβείας καὶ κατὰ γράμμα ὡς υἱὸς φιλοπάτωρ πραγματώσας, ζήλῳ πυρπολούμενος θείῳ, πάντα τὰ τῆς τοῦ Θεοῦ χάριτος τάλαντα φιλοτίμως εἰργάζετο, βόσκων τὰ λογικὰ τοῦ Χριστοῦ πρόβατα, ἐνισχύων τὸ ἠσθενικός, σωματοποιῶν τὸ κακῶς ἔχον, καταδῶν τὸ συντετριμμένον, ἐπιστρέφων τὸ πλανώμενον, ζητῶν τὸ ἀπολωλός, μόχθῳ τὸ ἰσχυρὸν κατεργαζόμενος καί, ἐπὶ πᾶσι, τὰ τῆς φιλαδελφείας καὶ φιλοπτωχείας καὶ ἐλεημοσύνης ἔργα ἀδιακόπως μετερχόμενος. Ἀργυρίου δὲ καὶ χρυσίου, κατὰ τὸν θεηγόρον Ἀπόστολον, οὐδενὸς ἐπιθυμήσας, πάντα τὰ αὐτῷ παρὰ τῶν πιστῶν διδόμενα φιλότιμα τοῖς πένησι διεμοίραζεν. Οὐ μήν, ἀλλὰ καὶ αὐτὰ τὰ πρόσφορα, ὥστε μηδὲ τὰ διὰ τὴν ἑαυτοῦ ζωοτροφίαν ἀναγκαιοῦντα κρατεῖν, καὶ τελείως πένεσθαι διὰ τὸν Κύριον. Ἐγένετο δέ ποτε καὶ τῆς ἱερᾶς Λειτουργίας ὥρας ἐπιστάσης, μὴ ἔχειν οὐδὲ αὐτὴν τὴν ἧς οὐκ ἄνευ προσφοράν. Ἐκεῖνος δὲ ὁ μακάριος, ἐπὶ τὸν Κύριον ἐπιῤῥίψας τὴν ἑαυτοῦ μέριμναν, ἡσύχαζε, λέγων ὡς ἄλλος Ἀβραὰμ τῷ ὑπηρέτῃ: *«Ὁ Θεὸς ὄψεται ἑαυτῷ προσφοράν, τέκνον, εἰς θυσίαν ἑαυτοῦ»*. Καί, ὢ τοῦ θαύματος! Εἰσελθόντος τοῦ ἱκέτου εἰς

Scanned by CamScanner

www.tezaurliturgic.ro


τὸ ἱερόν, πλεῖσται καὶ καλαὶ ἀγγελοκόμιστοι προσφοραὶ προὔκειντο εἰς ἱερουργίαν!

Οὕτω, κομῶν ταῖς ἀρεταῖς κατὰ μίμησιν τοῦ Θεανθρώπου, ἄγγελος ἐπίγειος παρὰ πάντων ἐγνωρίζετο καὶ ἐπουράνιος ἄνθρωπος.

Πλήν, διὰ τὸν λόγον τοῦ Κυρίου *«ἐν τῷ κόσμῳ θλίψιν ἕξετε»*, συνεχωρήθη πειρασθῆναι τὸν Ὅσιον. Ὅθεν, ἀγοραῖοί τινες καὶ χυδαῖοι ἐκ τοῦ ἀῤῥαβιανοῦ καὶ σκολιωτάτου γένους τῶν Ἑβραίων, φιλοφροσύνης προφάσει, οἶνον προσέφεραν τῷ ἀνθρώπῳ τοῦ Θεοῦ, διερχομένῳ ποτὲ δι' ἀναγκαίαν χρείαν διά τινος ῥύμης, πειρᾶσαι βουλόμενοι καὶ χλευᾶσαι αὐτὸν οἱ ἀσύνετοι. Ὃν καὶ κατὰ Χριστὸν σταυροειδῶς εὐλογήσας ὁ μακάριος, ἔπιε διὰ τὴν ἀγάπην, πλὴν οὐ μέχρι τρυγός, ἐπιχύσας τὸ λοιπὸν ἐν τῷ ἀγγείῳ. Ταύτην οὖν τὴν εὐλογίαν ὡς ὕβριν λογισάμενοι οἱ ἄνοες, κατελάλουν πολλὰ τοῦ εὔφρονος, σύραντες αὐτὸν μέχρι καὶ κριτηρίου, ἔνθα ἐκεῖνος μὲν εὖ καὶ καλῶς ἐδικαιώθη παρὰ τοῦ Δουκός, οὗτοι δὲ κατησχυμμένοι ἐξεπορεύθησαν.

Ζήσας δὲ ὁ ἀοίδιμος θεοφιλῶς ἐπὶ τῆς γῆς ὑπὲρ τὰ ἑβδομήκοντα ἔτη, καὶ θεὸς κατὰ χάριν γενόμενος διὰ τὸ τοῦ *«καθ' ὁμοίωσιν»* πασιφανῶς ἐπιτυχεῖν, ἐκλήθη παρὰ τοῦ Ζωοδότου Χριστοῦ ἐν ἔτει σωτηρίῳ 1511, τῇ 22ᾳ Ἰανουαρίου μηνός, εἰς τὸν θεῖον νυμφῶνα αὐτοῦ, ὅπου ἦχος καθαρὸς ἑορταζόντων καὶ βοώντων ἀπαύστως τὸ *«Κύριε, δόξα Σοι»*, ἵνα κομίσηται τὸν τῆς νίκης στέφανον καὶ τὰ αἰώνια γέρα, τὰ ἀποκείμενα τοῖς φιλοτίμως ἐργασθεῖσιν ἐν τῷ ἀμπελῶνι τῆς ἑαυτῶν καρδίας καὶ ἐκείνῳ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ.

Σημείων δὲ πολλῶν μετὰ ταῦτα ἐπιφαινομένων καὶ τεράτων θαυμασίων ἐπισυμβαινόντων, ὁραμάτων καὶ ὀπτασιῶν πυκνῶς πολλῶν καθορώντων, ἐγένετο μετά τινων ἐτῶν παρέλευσιν ἀνακομιδὴ τῆς σεπτῆς σοροῦ καί, ὢ τῶν θαυμασίων Σου Χριστέ! εὑρέθη τὸ ἱερὸν τοῦ Πατρὸς λείψανον ἄφθορον καὶ ἀκέραιον, εὐωδίαν ἄῤῥητον ἐκπέμπον καὶ γλυκασμὸν ταῖς τῶν ὁρώντων καρδίαις προξενοῦν, θαύματά τε πλεῖστα καὶ ἰάσεις παντοδαπὰς τοῖς μετ' εὐλαβείας καὶ πίστεως προσιοῦσιν ἐπιδαψιλεύειν. Εἰς ἔνδειξιν, προφανῶς καὶ βεβαίωσιν ταῦτα πάντα, ὅτι, παρὰ τὰς περὶ τοῦ ἐναντίου μυθολογίας τῶν φρενολήπτων καὶ θεηλάτων αἱρετικῶν, μεθεκτὸς ὑπάρχει ὁ ἐν Τριάδι ἀληθινὸς Θεὸς ἡμῶν κατὰ τὰς θείας αὐτοῦ καὶ ἀκτίστους ἐνεργείας, πᾶσι τοῖς ἐργαζομένοις τὴν ἀρετὴν καὶ ἁγιαζομένοις διὰ τῶν αὐτοῦ πανιέρων Μυστηρίων, κατὰ τὸ μέτρον, ὡς εἰκός, τοῦ ἀγῶνος ἑκάστου καὶ τῆς προαιρέσεως. Ἐκ ταύτης δὲ τῆς θείας μεθέξεως, τὸ φθαρτὸν τοῦ μακαρίου Ἰωσὴφ σκῆνος ἐνεδύσατο ἀφθαρσίαν, εἰς ἐμπαιγμὸν μὲν καὶ ἔλεγχον τῶν κατὰ τὸν ὀρθὸν λεγόμενον λόγον τὰ θεῖα πολυπραγμονούντων, χαρᾷ δὲ καὶ ταπεινώσει τὸ Μυστήριον τοῦ Θεοῦ προσκυνοῦντος εὐσεβόφρονος τῶν Ὀρθοδόξων λαοῦ.

Τοῦτο τὸ παναιδέσιμον καὶ χαριτόβρυτον τοῦ θεοφόρου Ἰωσὴφ λείψανον, μετὰ τὴν τῆς μεγαλονήσου Κρήτης κατάληψιν ὑπὸ τοῦ ἀσεβεστάτου γένους τῶν Ἀγαρηνῶν, κατὰ παραχώρησιν Θεοῦ, διὰ τὰς ἁμαρτίας ἡμῶν, ἐπισυμβᾶσαν ἐν ἔτει 1669, ἱερεύς τις εὐλαβὴς Ἀντώνιος τοὔνομα, τοὐπίκλην Ἀρμάκης, μεθ' ἑαυτοῦ συμπαραλαβὼν ὡς θησαυρὸν πολυτίμητον καὶ ἐπίζηλον, καταπλεύσας εἰς τὴν κατὰ τὴν Ἰόνιον λεγομένην θάλασσαν ὑλίεσσαν καὶ μυροβόλον νῆσον τῶν Ζακυνθίων, εἰς τὸ παρὰ τὸν τόπον τὸν καλούμενον Ξηροβούνια ἱερὸν γυναικεῖον Σεμνεῖον τοῦ ἁγίου Ἰωάννου, τὸ ἐπιλεγόμενον Μαντινειοῦ, κομίσας κατέθηκε μετὰ τιμῶν, τῷ αὐτῷ ἔτει, τῇ 29ῃ Αὐγούστου μηνός. Ἐκεῖθεν δὲ ὁ εὐσεβὴς τῆς νήσου λαὸς μετεκόμισε τοῦτο ἐν ἔτει 1915 εἰς τὸν ἐν τῇ κώμῃ Γαϊτάνι (οὐ μακρὰν τῆς πόλεως Ζακύνθου κειμένῃ) ἱερὸν τοῦ Παντοκράτορος Κυρίου Ναόν, ἔνθα ἄχρι τοῦ νῦν τεθησαύρισται, θαύματα πλεῖστα καὶ ἰάσεις παντοδαπὰς τοῖς μετὰ πόθου καὶ πίστεως καὶ εὐλαβείας προσκυνοῦσιν αὐτὸ ἐπιδαψιλεῦον. Τελεῖται δὲ καὶ πανήγυρις λαμπρὰ καὶ λιτάνευσις τοῦ ἱεροῦ σκηνώματος ἐτησίως, κατ' Αὔγουστον, εἰς εὐλογίαν τῶν πιστῶν, τιμὴν καὶ ἔπαινον τοῦ Ἁγίου καὶ δόξαν ἐπαξίαν τοῦ δοξάζοντος τοὺς ἐπὶ γῆς δι' ἀρετῆς καὶ θεοσεβείας αὐτὸν δοξάζοντας Τριαδικοῦ Θεοῦ, τοῦ Πατρός, φημί, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.

Ὁμοίως δὲ καὶ ἐν τῇ ἰδίᾳ τοῦ Ὁσίου πατρίδι, τῷ ταπεινῷ Ἀζωκεράμῳ, ἔνθα ἔκπαλαι βαθεῖα ἡ πρὸς αὐτὸν τῶν πιστῶν εὐλάβεια ὑπάρχει καὶ πλεῖστοι τῶν ὁμοχωρίων τὸ ὄνομα Ἰωσὴφ ἀναδεχόμενοι σεμνύνονται ἐπ' αὐτῷ, λαμπρῶς τιμᾶται τοῦ μακαρίου ἡ μνήμη, τῇ ἡμέρᾳ τῆς πρὸς Κύριον ὁσίας αὐτοῦ ἐκδημίας, τῇ 22ᾳ δηλονότι Ἰανουαρίου μηνός. Ἀνήγειρε δὲ ὁ τῶν πιστῶν σεβασμός, μεσοῦντος τοῦ αἰῶνος ἡμῶν, ναὸν περικαλλῆ ἐπ' ὀνόματι αὐτοῦ, εἰς τὸν χῶρον, ἔνθα, κατὰ τὴν παράδοσιν, ἡ πατρῴα τοῦ Ἁγίου ἔκειτο οἰκία. Ὁμοίως δὲ καὶ κατ' αὐτάς, καὶ ἐν τῇ πόλει τῆς Σητείας, ἐν τῷ λαμπρῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου Ἐνοριακῷ Ναῷ, κλίτος μετὰ θυσιαστηρίου ἐπ' ὀνόματι τοῦ Ὁσίου καθηγίασται.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Νεκρώσας τὸ φρόνημα, τὸ τῆς σαρκός σου Ἰωσὴφ ὅσιε, τῆς ζωῆς τῆς ἀγήρω, ἐν σοὶ ἐκτήσω τὰ θησαυρίσματα, ὧν ἀπολαύων βοᾷς ἀγαλλόμενος· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ Κρήτη εὐφραίνεται, σεμνυνομένη ἐν τοῖς σπαργάνοις σου, ἀλλὰ πλέον δὲ Πάτερ, ἀγαλλιᾶται ἡ νῆσος Ζάκυνθος, ὡς κτησαμένη τὸ ἅγιον σῶμά σου, καθαγιάζον ἡμῶν, ψυχὰς καὶ σώματα.

Συμπάθειαν ἄμετρον, τοῖς δεομένοις ἐπιδεικνύμενος, νύκτωρ Πάτερ ἐν πύλαις, τῶν ἀπορούντων χαίρων ἐτίθεσο, τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα καὶ

Scanned by CamScanner

www.tezaurliturgic.ro



ἔψαλλες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὡς Μήτηρ ἀπείρανδρος, τοῦ Βασιλέως πάσης τῆς κτίσεως, καὶ πηγὴ εὐσπλαγχνίας, εὐσπλάγχνως ἴδε ἐπὶ τὸν δοῦλόν σου, καὶ τῆς προσούσης κακίας με λύτρωσαι, εὐλογημένη Ἁγνή, ἁμαρτωλῶν προσφυγή.

Κανὼν δεύτερος. Οὐκ ἐλάτρευσαν.

Πρᾶος Ὅσιε, καὶ ταπεινὸς καὶ μέτριος, τοῦ ὑπὲρ ἔννοιαν, ὅλως ἐπλήσθης φωτός· ἐντεῦθεν θεόληπτος, ἐφαίνου Ἅγιε, πρὸς τὰ κρείττονα, μυσταγωγῶν χαρίσματα, θεαρέστου πολιτείας.

Πλήρης Πνεύματος, ὑπάρχων Πάτερ ἅγιε, χαρᾶς ἐπλήρωσας, τὴν σὲ γεννήσασαν γῆν, τὴν Κρήτην τὴν εὔανδρον, ἣ μέλπει ὅσιε, τὸ σὸν ὄνομα, εὐλογημένον Κύριε, εἴη εἰς πάντας τοὺς αἰῶνας.

Ῥόδον πάντερπνον, μυρίπνοον τῆς Χάριτος, ἐφάνης Ὅσιε, δι' ἐναρέτου ζωῆς, καὶ τέρπεις συστήματα, τῶν προσκυνούντων σου, ἀξιύμνητε, τὴν σεβασμίαν λάρνακα, τοῦ λειψάνου μετὰ πόθου.

Θεοτοκίον.

Σωματώσασα, Θεὸν τὸν ὑπερούσιον, ἐκ τῶν αἱμάτων σου, δίχα τροπῆς καὶ φυρμοῦ, σωτήριος γέφυρα, πάντας ἀνάγουσα, πρὸς οὐράνια, ὤφθης τοὺς πίστει κράζοντας· χαῖρε Κεχαριτωμένη.

Καταβασία. Σὲ τὸν ἐν πυρί.

Κανὼν πρῶτος. Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Γνώμην ἀπὸ νεότητος, οὐρανόφρονα ἔσχηκας, καὶ πάσης φροντίδος, γεηρᾶς ἐμάκρυνας· ἐντεῦθεν ἐλάτρευσας, ἐν πάσῃ ὁσιότητι, τῷ Δημιουργῷ, Ἡγιασμένε κραυγάζων· Οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐν ταπεινώσει Ὅσιε, καὶ ψυχῆς καθαρότητι, καὶ ζέοντι πόθῳ, Θεὸν ἐξεζήτησας, καὶ τούτου ἠξίωσαι, τῆς ὑπὲρ νοῦν ἐλλάμψεως, καθαγιασθείς, ψυχὴν καὶ σῶμα θεόφρον, συντόνοις ἐργασίαις, ἀρετῶν ἀνακράζων· Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ῥήσεσι τῶν χειλέων σου, πειθαρχῶν εὐπειθέστατα, ὁ διακονῶν σοι, Ἰωσὴφ μακάριε, ἐξέστη ὡς ἔβλεψεν, εἰς τὸ θυσιαστήριον, πλῆθος ἐκ Θεοῦ, εἰς προσφορὰν θείων ἄρτων, καὶ ᾔνεσεν ἐνθέως, τὸν δοτῆρα τῶν ὅλων, τὸν δόντα σοι τοιαύτην, θαυματουργίας χάριν.

Θεοτοκίον.

Ἁμαρτιῶν εἰς βόρβορον, ἐμπεσὼν ὁ ταλαίπωρος, καθ' ἑκάστην ὥραν, καὶ λόγοις καὶ πράξεσιν, ἀφαῖς καὶ ἐννοίαις τε, καὶ λογισμοῖς μολύνομαι· ἀλλ' ὦ Θεοτόκε, ἡ ἐλπὶς τῆς ψυχῆς μου, πικρᾶς με συνηθείας, καὶ παθῶν τυραννίδος, ῥῦσαί με τὸν σὸν δοῦλον, καὶ κάθαρον τὸν νοῦν μου.

Κανὼν δεύτερος. Παῖδας εὐαγεῖς.

Τῆς ὕλης σοφῶς καταφρονήσας, ὡς ἄσαρκος ἐν ἁγνείᾳ πεπολίτευσαι, Ἄγγελος ἐπίγειος, πέλων παμμακάριστε, ὡς ἄνθρωπος οὐράνιος, πλουτῶν τοῖς θαύμασι, τοὺς πίστει πρὸς σὲ νῦν προσιόντας, καὶ ἀσπαζομένους, τὸ ἄχραντόν σου σκῆνος.

Τριάδος Ἁγίας τῶν ἀκτίστων, καὶ θείων ἐνεργειῶν μέτοχος γέγονας, ὅλον προκαθάρας σου, σκεῦος δι' ἀσκήσεως, καὶ μετανοίας Ὅσιε, δι' ὃ σοι μέλπομεν· πρὸς Κύριον, μὴ παύσῃ πρεσβεύων, καταξιωθῆναι, ἡμᾶς τῆς σωτηρίας.

Ὕμνον σοι καὶ αἴνεσιν καὶ δόξαν, Τριὰς Παναγία, ἀναμέλπομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, Κτίστης τε καὶ Κύριος, πάσης καλῆς τε δόσεως, πηγὴ καὶ αἴτιον, ἀγάπης καὶ χαρᾶς τὸ ταμεῖον, πέλαγος, ἐλέους, καὶ θείας εὐδοκίας.

Θεοτοκίον.

Φεῖσαι τῆς ψυχῆς μου Θεοτόκε, Ἀγγέλων καὶ Ἀρχαγγέλων ἀγαλλίαμα, καὶ βροτῶν διάσωσμα, μέγα τε προσφύγιον, καὶ τῶν παθῶν με λύτρωσαι, δουλείας Πάναγνε, καὶ δίδου μοι ἀνάνευσιν Μῆτερ, τῷ κεκακωμένῳ, ἐχθροῦ τῇ ἐπηρείᾳ.

Καταβασία. Ἀστέκτῳ πυρί.

Κανὼν πρῶτος. Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Σωφρόνως διανύσας σου τὴν ζωήν, καὶ Θεὸν θεραπεύσας τὸν Ὕψιστον, γνώμῃ στεῤῥᾷ, ἐν ἐλέει Πάτερ καὶ οἰκτιρμοῖς, ὅσιος, πρᾶος ἄκακος, καὶ ἡγιασμένος ὤφθης ἡμῖν· καὶ νῦν σὺν τοῖς Ἁγίοις, χορεύων θεοφόρε, ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

Ἰδόντες σου τὸ λείψανον τὸ σεπτόν, κομισθὲν ἐκ τοῦ τάφου ἀκέραιον, μετὰ ταφήν, Πάτερ πολυ-

Scanned by CamScanner

www.tezaurliturgic.ro



χρόνιον οἱ πιστοί, χαρᾶς πολλῆς ἐπλήσθησαν, καὶ τὸν σὲ δοξάσαντα θαυμαστῶς, ἐν δόξῃ ἀποῤῥήτῳ, ἐδόξασαν συμφώνως, τὸν εὐεργέτην καὶ οἰκτίρμονα.

Μυρίζει σου ἡ θήκη ἡ ἱερά, τὴν ὀσμὴν τῶν χαρίτων τοῦ Πνεύματος, θείᾳ ῥοπῇ, καὶ τὰς διανοίας τῶν εὐσεβῶν, ἀρωματίζει πάντοτε· ὅθεν σου ἡ Ζάκυνθος ἐν χαρᾷ, τελεῖ Ἡγιασμένε, σὴν μνήμην τὴν ἁγίαν, προσπτυσσομένη σου τὸ λείψανον.

Ὁ βίος μου δυσώδης καὶ ῥυπαρός, καὶ ἡ γλῶσσα ἀκάθαρτος Ἅγιε, τολμήσας δέ, ᾔνεσα τὸν βίον σου τὸν σεπτόν· σὺ οὖν ὡς συμπαθέστατος, δέξαι μου τὸ τόλμημα εὐμενῶς, καὶ δίδου τῇ ψυχῇ μου, τὸν θεῖον Πάτερ φόβον, ἵνα ῥυσθῶ παθῶν τοῦ χείρονος.

Θεοτοκίον.

Ὑψόθεν μου τὴν κάκωσιν τῆς ψυχῆς, Θεοτόκε εὐσπλάγχνως ἐπίβλεψον, καὶ συντριβήν, καὶ ταλαιπωρίαν τὴν χαλεπήν, καὶ τῆς βιαίας ῥῦσαί με, τοῦ ἀνθρωποκτόνου ἐπιδρομῆς, καὶ σῶσόν με Παρθένε· σὲ γὰρ ἔχω ἐλπίδα, τῆς σωτηρίας ὁ ἀνάξιος.

Κανὼν δεύτερος. Ἅπας γηγενής.

Χαίρων τὴν ὁδόν, παμμάκαρ διήνυσας, τὴν στενωτάτην σύ, ὡς εἶπεν ὁ Κύριος, αὐτοῦ τοῖς λόγοις, σοφῶς πειθόμενος, ἐν ἀγρυπνίαις δάκρυσιν, ὑπομονῇ τε πολλῇ καὶ ἀγάπῃ, πόθῳ τελειότητος, καὶ νοὸς καθαρότητι Ὅσιε.

Χαίρων τῷ φωτί, τῷ θείῳ πανθαύμαστε, καταυγαζόμενος· πρόσωπον πρὸς πρόσωπον, ὁρᾷς τὸ κάλλος, Χριστοῦ τὸ ἄῤῥητον· καὶ μετοχῇ θεούμενος, τῇ ὑπὲρ ἔννοιαν, ἐκδυσώπει, ὑπὲρ τῶν τιμώντων νῦν, τὴν σεπτὴν καὶ σεβάσμιον μνήμην σου.

Ψάλλων Ἰωσήφ, καὶ μέλπων οὐ παύσομαι, τὰ σὰ θαυμάσια· καὶ παρακαλῶν θερμῶς, πρεσβεύειν Πάτερ, ἀεὶ πρὸς Κύριον, τῆς φοβερᾶς κολάσεως, ῥυσθῆναι ἅπαντας, Ὀρθοδόξους κλῆρον καὶ λαὸν ὁμοῦ, καὶ ἐμὲ τὸν ἀχρεῖον ἱκέτην σου.

Θεοτοκίον.

Ὦ Μῆτερ ἁγνή, τοῦ Λόγου γεννήτρια, πάντες βοῶμέν σοι· Κόρη ἀπειρόγαμε, χαρᾶς ἁγίας, ἅπαντας ἔμπλησον, καὶ ἀενάως πρέσβευε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, χαρισθῆναι, πᾶσι τοῖς ὑμνοῦσί σε, τῶν πταισμάτων, Σεμνὴ τὴν συγχώρησιν.

Καταβασία. Ἐν νόμῳ σκιᾷ καὶ γράμματι.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀσκήσεως τοῖς σκάμμασι, καὶ ἀρετῶν λαμπρότησι, καὶ δωρεᾷ τῶν θαυμάτων, τὴν νῆσον εὔφρανας Κρήτην, ὦ Ἰωσὴφ μακάριε, τῶν Ἀσωμάτων σύσκηνε· διὸ καὶ νῦν τὴν μνήμην σου, λαμπροφανῶς ἑορτάζει, προστάτην σε κεκτημένη.

Ἕτερον. Ὅμοιον.

Τὸν Ἰωσὴφ τὸν δίκαιον καὶ λειτουργὸν πανάριστον, ὑπέρμαχον τῶν ἐν Κρήτῃ, Ζακύνθου τε τὸν προστάτην, πολλοὺς πτωχοὺς ἐκθρέψαντα, πιστῶς ἀνευφημήσωμεν· οὗτος γὰρ πάσης θλίψεως καὶ δυσχερείας παντοίας, τοὺς Ὀρθοδόξους λυτροῦται.

Θεοτοκίον.

Θεὸν τὸν ὑπερούσιον, ἀφράστως σωματώσασα, εὐλογημένη Μαρία, θεοχαρίτωτε Κόρη, βροτῶν τὴν φύσιν ὕψωσας, τῆς πάλαι καταπτώσεως, πρὸς τὴν ἀρχαίαν εὔκλειαν· διό σου τὰ μεγαλεῖα, ὑμνολογοῦμεν Παρθένε.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Ἰωσὴφ πανένδοξε, ἀνατεθεὶς ἐκ παιδός, τῷ Σωτῆρι καὶ Πλάστῃ σου, βιοτὴν ἰσάγγελον, ἀληθῶς πεπολίτευσαι· διδασκαλίᾳ καλλωπιζόμενος, καὶ ἀπαθείᾳ καταλαμπόμενος. Ὢ τῆς ἀγάπης σου, τῆς θερμῆς πρὸς Κύριον, θαυματουργέ! δι' ἧς ὡς φῶς ἔλαμψας, κόσμου τοῖς πέρασι.

Πάτερ Ἰωσὴφ ἀοίδιμε, τὴν ἱεράν σου στολήν, Ἱερεὺς ὡς θεόληπτος, λαμπροτέραν ἔδειξας, ἀρετῶν ταῖς λαμπρότησι· ὅθεν ἀξίως Χριστὸς ἠμείψατο, ἀθανασίας μέτοχον δείξας σε. Ὢ τῆς πλουσίας σου, δωρεᾶς πανόλβιε! ἣν αἰσθητῶς, βλέπομεν κυκλοῦντές σου, σκῆνος τὸ ἄφθαρτον.

Πάτερ Ἰωσὴφ μακάριε, λόγον ζωῆς ἀληθοῦς, ἐκ χειλέων σου ἔβλυσας, ὡς ὕδωρ ἀλλόμενον, εἰς ζωὴν τὴν αἰώνιον· καὶ διανοίας πιστῶν κατήρδευσας, πρὸς εὐκαρπίαν θείαν καὶ ἄϋλον. Ὢ τῆς πλουσίας σου, δωρεᾶς καὶ χάριτος! δι' ἧς ἀεί, ἄγεις πρὸς τὰ κρείττονα, τοὺς σὲ γεραίροντας.

Scanned by CamScanner

www.tezaurliturgic.ro



Πάτερ Ἰωσὴφ πανόλβιε, παρὰ Θεοῦ δοξασθείς, τοῦ τῶν ὅλων δεσπόζοντος, τῶν θαυμάτων ἔλαβες, δαψιλῶς τὴν ἐνέργειαν· ὅθεν παρέχεις πᾶσιν ἰάματα, τοῖς προσιοῦσί σοι μετὰ πίστεως· σπεῦσον θεράπευσον, καὶ ἡμῶν δεόμεθα τὰ τῆς ψυχῆς, ἅμα καὶ τοῦ σώματος, τὰ πάθη Ἅγιε.

Δόξα Πατρί. Ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν ἑόρτια, καὶ χορεύσωμεν ἀγαλλόμενοι, τῇ φωτοφόρῳ μνήμῃ, τοῦ ἀοιδίμου Πατρός. Ἱερεῖς καὶ Μονάζοντες συντρεχέτωσαν, καὶ τὸν θεοφόρον κροτείτωσαν ἐν ὕμνοις, ὡς τοῖς πᾶσι βλύζοντα, ἰαμάτων δαψιλῶν πηγάς, ἐκ τοῦ σεπτοῦ αὐτοῦ λειψάνου. Ὀρθοδόξων τὰ συστήματα, τὸν τῆς Ἐκκλησίας ὁλόφωτον φωστῆρα, συνελθόντα ἀνυμνείτωσαν. Οἱ ἐν νόσοις τὸν ἰατρόν, οἱ ἐν κινδύνοις τὸν ῥύστην, οἱ ἁμαρτωλοὶ τὸν προστάτην, οἱ πένητες τὸν χορηγόν, οἱ ἐν θλίψεσι τὴν παραμυθίαν· τὸν συμπολίτην οἱ ἐν Σητείᾳ· οἱ Μονασταὶ τὸν ποιμένα καὶ διδάσκαλον· οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα, ᾄσμασιν ἡδυφθόγγοις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· μακάριε Ἰωσήφ, πρόφθασον ἐξελοῦ ἡμᾶς, τῆς ἐνεστώσης ἀνάγκης καὶ πρέσβευε τῷ Κυρίῳ, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ' καὶ στ' ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ιζ' Ἰανουαρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις ὁ Κεράμων θεῖος βλαστός, καὶ τῆς Κρήτης πάσης, ἀπροσμάχητος βοηθός, Ἰωσὴφ τὸ κλέος, ὁσίων καὶ ἡ δόξα, ἡμᾶς τοὺς σὲ τιμῶντας, δεινῶν περίσωζε.

*Δίστιχον.*

*Ὁ Ἀριανζοῦ ὕφανεν Ἱεράρχης*
*τῷ ὁμωνύμῳ Ὁσίῳ πόθῳ ὕμνους.*

Scanned by CamScanner